## ΑΚΑΙΡΙΑΣ

Ἡ μὲν οὖν ἀκαιρία ἐστὶν ἐπίτευξις ⟨χρόνον⟩ λυποῦσα τοὺς ἐντυγχάνοντας, ὁ δὲ ἄκαιρος τοιοῦτός τις, οἷος ἀσχολουμένῳ προσελθὼν ἀνακοινοῦσθαι. καὶ πρὸς τὴν αὑτοῦ ἐρωμένην κωμάζειν πυρέττουσαν. καὶ δίκην ὠφληκότα ἐγγύης προσελθὼν κελεῦσαι αὑτὸν ἀναδέξασθαι. καὶ μαρτυρήσων παρεῖναι τοῦ πράγματος ἤδη κεκριμένου. καὶ κεκλημένος εἰς γάμους τοῦ γυναικείου γένους κατηγορεῖν. καὶ ἐκ μακρᾶς ὁδοῦ ἥκοντας ἄρτι παρακαλεῖν εἰς περίπατον. δεινὸς δὲ καὶ προσάγειν ὠνητὴν πλείω διδόντα ἤδη πεπρακότι. καὶ ἀκηκοότας καὶ μεμαθηκότας ἀνίστασθαι ἐξ ἀρχῆς διδάσκων. καὶ πρόθυμος δὲ ἐπιμεληθῆναι, ἃ μὴ βούλεταί τις γενέσθαι, αἰσχύνεται δὲ ἀπείπασθαι. καὶ θύοντας καὶ ἀναλίσκοντας ἥκειν τόκον ἀπαιτήσων. καὶ μαστιγουμένου οἰκέτου παρεστὼς διηγεῖσθαι, ὅτι καὶ αὑτοῦ ποτε παῖς οὕτως πληγὰς λαβὼν ἀπήγξατο. καὶ παρὼν διαίτῃ συγκρούειν, ἀμφοτέρων βουλομένων διαλύεσθαι. καὶ ὀρχησόμενος ἅψασθαι ἑτέρου μηδέπω μεθύοντος. ΙΒ (ΙΒ)

## ΒΔΕΛΥΡΙΑΣ

Οὐ χαλεπὸν δέ ἐστι τὴν βδελυρίαν διορίσασθαι· ἔστι γὰρ παιδιὰ ἐπιφανὴς καὶ ἐπονείδιστος, ὁ δὲ βδελυρὸς τοιοῦτος ⟨τις⟩, οἷος ἀπαντήσας γυναιξὶν ἐλευθέραις ἀνασυράμενος